Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: upu-aj

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 26 To Dionysus

*Ὕμνος εἰς Διόνυσον*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Κισσοκόμην Διόνυσον ἐρίβρομον ἄρχομ’ ἀείδειν
Ζηνὸς καὶ Σεμέλης ἐρικυδέος ἀγλαὸν υἱόν,
ὃν τρέφον ἠΰκομοι νύμφαι παρὰ πατρὸς ἄνακτος
δεξάμεναι κόλποισι καὶ ἐνδυκέως ἀτίταλλον
Νύσης ἐν γυάλοις· ὁ δ’ ἀέξετο πατρὸς ἕκητι
ἄντρῳ ἐν εὐώδει μεταρίθμιος ἀθανάτοισιν.
αὐτὰρ ἐπεὶ δὴ τόνδε θεαὶ πολύυμνον ἔθρεψαν,
δὴ τότε φοιτίζεσκε καθ’ ὑλήεντας ἐναύλους
κισσῷ καὶ δάφνῃ πεπυκασμένος· αἱ δ’ ἅμ’ ἕποντο
νύμφαι, ὁ δ’ ἐξηγεῖτο· βρόμος δ’ ἔχεν ἄσπετον ὕλην.
Καὶ σὺ μὲν οὕτω χαῖρε πολυστάφυλ’ ὦ Διόνυσε·
δὸς δ’ ἡμᾶς χαίροντας ἐς ὥρας αὖτις ἱκέσθαι,
ἐκ δ’ αὖθ’ ὡράων εἰς τοὺς πολλοὺς ἐνιαυτούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org